www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΚΕΙΜ ΤΟΥ ΒΑΤΟΠΑΙΔΗΝΟΥ,

ΤΟΥ ΕΞ ΙΘΑΚΗΣ

(ἑορταζομένου τῇ 11ῃ / 24ῃ Μαΐου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 1998 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΤΗι ΙΑ΄/ΚΔ΄ ΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ, ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΚΕΙΜ ΤΟΥ ΒΑΤΟΠΕΔΙΝΟΥ

* * *

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ ἀκόλουθα προσόμοια.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Εὐφραίνου αὖθις Μεγίστη, Βατοπεδίου Μονή, ὅτι ὁ σύλλογός σου, τῶν ὁσίων ηὐξήθη, ἐλθὼν γὰρ ἐξ Ἰθάκης ὧδε ποτέ, ἐραστὴς θείου Πνεύματος, Ἰωακεὶμ ἀνεδείχθη ὁ θαυμαστός, τῶν Πατέρων ἰσοστάσιος.

Τῶν ὀρφανῶν ὁ προστάτης, σὲ προσελάβετο, Ἰωακεὶμ θεόφρον, καὶ τὸ ἄπλαστον ἦθος, ἰδών σου εἰς λιμένα τὸν ἀσφαλῆ, Ὄρους Ἄθω ἐκάλεσεν, ἔνθα ἐκ πείρας ἐφάνης πνευματικός, ὁσιώτατε διδάσκαλος.

Μήτηρ ἐγένετο ἄλλη, σοὶ παμμακάριστε, ἡ Βασιλὶς τοῦ Ἄθω, καὶ Ἁγνὴ Θεοτόκος, καὶ ἔδειξέ σε φίλον Ἰωακείμ, τοῦ Δεσπότου ἐξαίρετον, κεκοσμημένον πληθύι τῶν ἀρετῶν, καὶ ὁσίων τοῖς χαρίσμασι.

Στοιχειωθεὶς τῇ ἀσκήσει, φῶς ἀνεδείχθης Χριστοῦ, κειμένοις ἐν τῷ σκότει, τῆς δουλείας θεόφρον, τοὺς πίπτοντας στηρίζων, λόγοις σοφοῖς, Ἰωακεὶμ πανσεβάσμιε, καὶ τοὺς πτωχοὺς διατρέφων πνευματικῶς, πρακτικαῖς σου ὑποδείξεσι.

Πτωχὸς ὑπάρχων ὦ πάτερ, βίου τοῖς πράγμασι, πτωχῶν ἐδείχθης θεῖος, ἀρωγὸς καὶ προστάτης, τηρῶν φιλαδελφίαν πνευματικῶς, Ἰωακεὶμ ὁσιώτατε, Ἰθακησίοις ἐδίδασκες ἐντολάς, τοῦ Κυρίου ἐν ἁπλότητι.

Χαρᾶς πληρούμεθα Πάτερ, κατασπαζόμενοι, λειψάνων σου τὴν θήκην, καὶ λαμβάνομεν χάριν, ἐν τούτοις γὰρ ἐσκήνωσε τοῦ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Θεοῦ, μυστικῶς ἡ ἐνέργεια, καὶ παροχεύεται πᾶσι τοῖς εὐλαβῶς, σὲ τιμῶσι μετὰ πίστεως.

Δόξα. Ἦχος πλ.β.

Εὐφραίνεται μυστικῶς σήμερον ὁ τῆς Θεοτόκου ὁσιοτόκος κῆπος, ὅτι ἐξήνθησεν ἐπ᾿ ἐσχάτων, Ἰωακεὶμ τὸν μακάριον, τοῦ Πνεύματος θεῖον ἀθλητὴν καὶ συνόμιλον τῶν παλαιῶν Πατέρων· τὸν ἐξ Ἰθάκης μὲν φυέντα, ἐν τῇ Βατοπαιδίου δ᾿ ἐξασκήσαντα, καὶ αὖθις θείᾳ εὐδοκίᾳ, ἐν τῇ γενετείρᾳ ἐπαναστραφέντα. Ἔνθα στηριγμὸς κλονουμένων ἀνεδείχθη, πρὸς Χριστὸν χειραγωγός, καὶ τῆς ἐν Θεῷ ζωῆς ὑπαλείπτης. Θαύμασι δὲ καὶ σημείοις δοξασθείς, καὶ ζῶν καὶ μετὰ πότμον, πρεσβεύει ὑπὲρ ἡμῶν ἐκτενῶς ὡς φιλάδελφος.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε ἤ τῆς προλαβούσης ἑορτῆς.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Ἀναγνώσματα ὁσιακά.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα
(γ' 1 - 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα
## (ε΄15 - στ΄ 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτῶν καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
## (δ΄ 7 - 15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α'.

Τὴν οὐρανίαν καὶ ἀσάλευτον πατρίδα ποθήσας, τὴν νῆσόν σου κατέλιπες θεοδηγούμενος εὐπετῶς, πάτερ πανόσιε Ἰωακείμ· ἐν δὲ τῷ Ἄθωνι ἀσφαλῶς ἐλλιμενισθείς, ὡς ναῦς ἀρετοστόλιστος ἀνεδείχθης, στοιχειωθεὶς τὰ θεῖα ἀσκητικῶς. Ὅθεν οἰκονομικῶς, φῶς ἀπεστάλης τοῖς ἐν σκότει, καὶ βακτηρία τοῖς ἐν δουλείᾳ κλονουμένοις ἀδελφοῖς. Πρέσβευε δεόμεθα τῷ Δεσπότῃ Ἅγιε, ὑπὲρ ἡμῶν τῶν πόθῳ τιμώντων σε.

Ἦχος β'.

Τῆς μητρικῆς στοργῆς παιδιόθεν πάτερ στερηθείς, ἔσχες ἀντὶ ταύτης τὴν τῆς Πανάγνου Θεοτόκου οὐράνιον ἀντίληψιν· Ἥτις προσελάβετό σε ὡς πρόβατον τῆς ποίμνης Ἑαυτῆς, ἑλκύσασά σε ἐν τῇ ὁσίᾳ Μάνδρᾳ τοῦ Βατοπαιδίου, ἔνθα γλυκασμοῖς πνευματικοῖς τὴν θεοφιλῆ ψυχήν σου ἐξέθρεψεν ἐν ἀγάπῃ· ὅθεν εἰς μέτρα τελειότητος φθάσας, πολλοῖς ἐγένου πρακτικὸς ὁδηγὸς πρὸς Θεόν, Ἰωακεὶμ παμμακάριστε.

Ἦχος γ'.

Τὴν ἁλμυρὰν θάλασσαν τοῦ βίου καταλιπών, εἰς τὸν τῆς Θεοτόκου ψυχασφαλῆ λιμένα, ἀσφαλῶς ἠγκυροβόλησας, τὸν πολύτιμον Μαργαρίτην εὑρεῖν ἐπιθυμῶν, Ἰωακεὶμ ὅσιε· καὶ ὡς πιστὸς ἐργάτης τοῦ Δεσπότου, ἐπολυπλασίασας φιλοτίμως τὸ τάλαντον τοῦ Σχήματος, εἰς τριάκοντα καὶ ἑξήκοντα καὶ ἑκατόν. Ὅθεν ἐκ τοῦ περισσεύματος τοῦ θείου ζήλου σου, μετέδωκας ἀφθόνως πολλαῖς ψυχαῖς διψώσαις, νυμφαγωγὸς συνετὸς γενόμενος αὐτῶν πρὸς Κύριον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἦχος δ'.

Τῇ καλλικάρπῳ ἡσυχίᾳ τὸν ἀγρόν σου γεωργήσας, γεννήματα ἀρετῶν συνήθροισας ἐν τῇ τῆς ψυχῆς σου ἀποθήκῃ· καὶ τὸ τοῦ ἀδελφοῦ συμφέρον ὡς ἴδιόν σου θεωρῶν, τὸν Ἄθω κατέλιπες Ἰωακείμ, τῇ θείᾳ ὁδηγίᾳ. Ὅθεν καὶ ἐν Πελοποννήσῳ καὶ Ἰθάκῃ, τύπος καθαρὸς τῶν πιστῶν ἐγεγόνεις καὶ τῆς ἐν Χριστῷ πολιτείας ὑπογραμμός· ἐν οὐρανοῖς δὲ τοῦ Κυρίου ἐντρυφῶν, πρέσβευε δεόμεθα Πάτερ, ὑπὲρ τῶν τιμώντων σε.

Δόξα. Ἦχος πλ.α'.

Τὸν τοῦ Δεσπότου ἐραστήν, καὶ ὁσιότητος ταμεῖον, τῆς Βασιλείας τὸν ἐπιποθητήν, καὶ ἀσκητὴν θεοφιλέστατον, δεῦτε σήμερον Ἰωακεὶμ τὸν ἐξ Ἰθάκης, ὕμνοις εὐφημήσωμεν· οὗτος γὰρ ἀπὸ νεότητος ἄρας τὸν σταυρὸν τῶν μονοτρόπων, ἐν τῇ Μεγίστῃ τοῦ Βατοπαιδίου Μονῇ πνευματικῶς ἠνδρώθη, καὶ ὡς πηγὴ θησαυρισμάτων θείων, πολλοὺς ἐπότισε τοῖς εὐαγγελικοῖς ὕδασιν, ἐν τῇ πατρίδι ἑαυτοῦ ἐπαναστραφείς. Ὅθεν καταπαύσας τοῦ σκιώδους βίου, ἐν οὐρανοῖς ἐνδόξως ἐπευφραίνεται, καὶ πρεσβεύει ἀδιαλείπτως ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν. Μακαρίζομέν σε ἡ τῆς προλαβούσης ἑορτῆς.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Χαίρει ἡ Ἰθάκη ἐν Χριστῷ, ὦ Ἰωακεὶμ θεοφόρε, σὲ ἐκβλαστήσασα, καὶ Αὐτῷ ἐνέγκασα θυσίαν εὔοσμον, καὶ ὁ Ἄθως ἀγάλλεται, χαρίσμασι πλείστοις, καθωραϊζόμενον, βλέπων σε Ὅσιε· ἡ Βατοπαιδίου δὲ Μάνδρα, θείαν σου γεραίρουσα μνήμην, μητρικῶς εὐφραίνεται πανόσιε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



*Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι*

Ἔχων ἀπὸ βρέφους καθαρῶς, πόθον τοῦ Θεοῦ ἐν ψυχῇ σου, Ἰωακεὶμ θαυμαστέ, τοῦτον ἐκπεπλήρωκας, ζυγὸν Χριστοῦ ὑπελθών, ἐν τῷ ὄρει τοῦ Ἄθωνος, ἐν ᾧ ἐκ τῆς πείρας, γέγονας διδάσκαλος, καὶ ὁδηγὸς ἀπλανής, ὅτε δὲ Προνοίᾳ ἐξῆλθες, ὡς πυρσὸς χριστόφωτος πάτερ, πλήθη κατεφώτισας τῷ βίῳ σου.

*Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.*

Ἐκ τῆς μετοχῆς ἐνεργειῶν, Χάριτος Κυρίου πλουτήσας, θεῖα χαρίσματα, σὴν Μονὴν κατέλιπες, Ἰωακεὶμ ὥς τις ναῦς, ἀδελφοῖς θησαυρίσματα, κομίσας ποικίλα, καὶ ψυχήν σου θέμενος, ὑπὲρ αὐτῶν ἱερῶς· ὅθεν θαυμασίοις σὸν βίον, ὁ Χριστὸς ἐκόσμησε πάτερ, καὶ μετὰ θανὴν ὑπερεδόξασε.

Δόξα. Ἦχος δ'.

Τῷ ἔχοντι δοθήσεται καὶ περισσευθήσεται, ὁ Κύριος ἔφη. Ὅθεν καὶ ἡ ἁγιόπλουτος Μονὴ τοῦ Βατοπαιδίου, πληθὺν Ἁγίων καταπλουτοῦσα, καὶ σὲ ἀνέδειξε πρὸς τοῖς ἄλλοις, τοῦ Πνεύματος δοχεῖον εὐωδέστατον, Ἰωακεὶμ πανσεβάσμιε. Πλήρη δὲ ὄντα τῆς θείας ζωῆς, διδάσκαλον ἀπέστειλε τοῖς ἐν τῇ ἐνεγκαμένῃ σε ὁμοπατρίοις, οὓς διδάσκων καθ᾽ ἑκάστην πατρικῶς, ἐν ἁπλότητι καὶ σημείοις θείοις τῷ Χριστῷ προσήγαγες. Ὧι νῦν παριστάμενος ἀδιαστάτως, πρέσβευε δεόμεθα, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

Καὶ νῦν. Νεῦσον παρακλήσεσι ἢ τῆς προλαβούσης ἑορτῆς.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Τῆς Ἰθάκης τὸν γόνον καὶ τοῦ Ἄθωνος καύχημα, τῆς Βατοπαιδίου δὲ Μάνδρας, ἱερώτατον βλάστημα, τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, τὸν ὅσιον πιστοὶ Ἰωακείμ, ὡς φυγόντα εὐμηχάνως



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

κλυδωνισμούς, πελάγους βίου ἅπαντας· δόξα βοῶντες τῷ Χριστῷ, τοῦτον καθαγιάσαντι, καὶ τῶν λειψάνων τὴν σορόν, ποικίλως χαριτώσαντι.

καὶ ἕτερον
Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὡς ρόδον χριστόπνοον ἐκ τῆς Ἰθάκης φυείς, Μεγίστην κατείληφας Βατοπαιδίου Μονήν, ἐν ᾗ πάτερ ἤσκησας· ὅθεν Ἰωακείμ σε, θεαυγῆ ὡς ἀστέρα, ἔπεμψεν ὁ Δεσπότης, τοῖς ἐν σκότει δουλείας, οὓς Πάτερ καθωδήγησας, πρὸς βίον ἔνθεον.

Θεοτοκίον ἢ τὸ ἀπολυτίκιον τῆς προλαβούσης ἑορτῆς.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εἰς τὴν α' στιχ. Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Χριστὸν ἐπιποθῶν, ἀπὸ βρέφους θεόφρον, κατέλιπες φαιδρῶς καὶ πατρίδα καὶ πλοῖον, ὡς πάλαι οἱ Ἀπόστολοι καὶ τὸ Σχῆμα ἀνείληφας, καὶ καθώρμισαι, Βατοπαιδίου τῇ Μάνδρᾳ, ἐν ᾗ ἤσκησας, Ἰωακεὶμ θεαρέστως, ὡς δένδρον καλλίκαρπον.

Δόξα. Καὶ νῦν. Τῆς Θεοτόκου, ἦχος ὁ αὐτός ἢ τῆς ἑορτῆς.

Ἀνύμφευτε ἁγνή, Θεοτόκε Μαρία, ἡ μόνη τῶν πιστῶν, προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας, Κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον, ταῖς θείαις πρεσβείαις σου.

Εἰς τὴν β' στιχ. Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐν τῷ Ἄθῳ ὅσιε, καθαγιάσας, ἐκ Θεοῦ ἀπέσταλσαι, ὥσπερ πυρσὸς χριστοφαής, Ἰωακεὶμ τῇ πατρίδι σου, ἣν ἀρεταῖς σου, Κυρίῳ συνήρμοσας.

Δόξα. Καὶ νῦν. Τῆς Θεοτόκου, ὅμοιον ἢ τῆς ἑορτῆς.

Ῥυπωθεῖσαν πάθεσι, τῆς ἁμαρτίας, τὴν ψυχήν μου Ἄχραντε, Θεογεννῆτορ ἀγαθή, τῇ σῇ πρεσβείᾳ καθάρισον· σὺ γὰρ ὑπάρχεις, σωτήριος κάθαρσις.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ'. Τὴν Σοφίαν & Λόγον.

Ἀγαπήσας τὸ Σχῆμα τῶν μοναχῶν, ἐκ νεότητος ἦρας Ἰωακείμ, σταυρὸν ὁσιότητος, Θεοτόκον συνέριθον, ἐν τῷ βίῳ ἔχων, ἀεὶ παμμακάριστε, Ἧς τοῦ Κλήρου ἐφάνης, καρπὸς εὐχυμότατος· ὅθεν ἐν ψυχῇ σου, διεφύλαξας πάτερ, ἀγάπην ἀνόθευτον, δι᾽ ἧς τέκνα τῆς Χάριτος, ἀδελφούς σου ἀπέδειξας. Πρέσβευε Χριστῷ τῷ Θεῷ, ὑπὲρ ὅσοι μνήμην σου πανάριστον, ἐπιτελοῦμεν καὶ πρέσβυν Αὐτῷ σε προβάλλομεν.

Δόξα. Καὶ νῦν. Τῆς Θεοτόκου, ὅμοιον ἢ τῆς ἑορτῆς.

Ἡλιόμορφον ἅρμα τὸ τοῦ Δαβίδ, πορφυρόστρωτε κλίνη τοῦ Σολομών, τόμος θεοχάρακτος, Ἠσαΐου καὶ ἔμψυχος, σκηνὴ τοῦ Μωϋσέως, καὶ τεῖχος ἀδάμαντος, σὺ τοῦ Ἀμὼς ὑπάρχεις, λυχνία χρυσήλατος, ἡ τοῦ Ζαχαρίου, Δανιὴλ δὲ τὸ ὄρος, πυξίον κροκόλευκον, Ἀββακοὺμ καὶ τὸ ἔξοχον, Προφητῶν πάντων λάλημα· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναι τὴν συγχώρησιν, τοῖς προσκυνοῦσιν ἐν πίστει, Παρθένε τὸν τόκον σου.

Οἱ Ἀναβαθμοί· τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου. Ἐκ νεότητος μου.

Προκείμενον· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχος· *Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.*

**Εὐαγγέλιον,** ὁσιακόν. Βλ.εἰς Ὄρθρον 5ης Δεκεμβρίου.

Ὁ Ν'. Ἐλέησόν με ὁ Θεός....

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

καὶ τὸ ἰδιόμελον. Ἦχος πλ.β'.

Στίχ. *Ἐλεήσόν με ὁ Θεός....*

Χαῖρε καὶ ἀγάλλου ὡς καλλίτεκνος μήτηρ, ἡ τοῦ Βατοπαιδίου Θεομητοροσκέπαστος Μάνδρα· ὅτι κατεπλούτισας τὸν θησαυρὸν τῶν Ἁγίων, μητρικῶς ἐκθρέψασα καὶ τὸν ὅσιον Ἰωακείμ, οὗ τὴν μνήμην σήμερον φαιδρῶς ἐπιτελοῦντες, δοξάζομεν τὸν σὲ μεγάλως δοξάσαντα Κύριον.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...κλπ.

**Οἱ Κανόνες· πρῶτον ψάλλομεν τῆς Θεοτόκου καὶ εἶτα τὸν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς:**

*"Αἰνῶ σε, τὸν Ἰωακείμ, Βατοπαιδίου ἄνθος. Ἀ(θανάσιος)".*

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ἁρματηλάτην φαραώ.

Ἄνθος εὐῶδες τοῦ λειμῶνος πέφυκας, Βατοπαιδίου Μονῆς, τῆς Μεγίστης πάτερ, ἐν ἐσχάτοις ἔτεσιν, ἣν βίῳ τῷ πανσέπτῳ σου, κατεμύρισας σφόδρα, διὸ αὐτῆς δέχου αἴνεσιν, ὦ Ἰωακεὶμ νῦν φιλόσιον.

Ἰωακεὶμ τῆς Θεοτόκου πέφυκεν, πατὴρ μακάριος, σὺ δὲ τέκνον ὤφθης, κατὰ χάριν Ὅσιε, Ἰωακεὶμ Θεόπαιδος, ἐν τῷ Ἄθῳ ἀσκήσας, καὶ εὐλαβῶς κατετρύφησας, τοῦ πνευματικοῦ Πάτερ μέλιτος.

Νενικηκὼς τῶν ἐγκοσμίων θέλγητρα, μόνον ἐπόθησας, ἐν αὐλαῖς Κυρίου, παραμένειν ὅσιε, διὸ προθύμως ἔδραμες, εἰς Μονὴν τὴν μεγίστην, Βατοπαιδίου ὡς ἔλαφος, ὦ Ἰωακεὶμ χριστοδίψαστος.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὡς τιθηνὸς Θεοκυῆτορ δέδεξαι, τοῖς θείοις κόλποις σου, ἐν Μονῇ μεγίστῃ, καὶ ὡς βρέφος γάλακτι, ἀσκήσεως ἐξέθρεψας, ἐξ Ἰθάκης ἐλθόντα, Ἰωακεὶμ τὸν μακάριον, ὃν χοροῦ Ὁσίων ἠξίωσας.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Συνιδὼν φευγαλέον, βίου εὐθὺς Ὅσιε, ὅτε κατενόησας ἄλλου, βίου τὸ μόνιμον, πλοῖον κατέλιπες, Ἰωακεὶμ καὶ ὑπῆλθες, τὸν Χριστοῦ γλυκύπικρον, ζυγὸν φαιδρότατα.

Εὗρες ὅπερ ἐπόθεις, Ἰωακεὶμ πάντιμε, ἐν Μονῇ μεγίστῃ τὸ Σχῆμα, λαβὼν τὸ ἅγιον, καὶ ὡς φιλόπονος, πάσῃ σπουδῇ διεξῆλθες, τὰ σοὶ προστασσόμενα, ὡς πύκτης ἄριστος.

Τετρωμένος τῷ πόθῳ, τοῦ Ἰησοῦ ὅσιε, καὶ πεπυρωμένος τῷ ζήλῳ, τῆς ἁγιότητος, ἱδρῶτας δέδωκας, ὡς προσφορὰν ἀντιδώρως, τῷ σὲ ἀγαπήσαντι, ἀσκήσας ἄριστα.

Θεοτοκίον

Ὁ Υἱός σου Παρθένε, ψυχὰς ἐρῶν εἴληφεν, ἐν δικτύοις θείας ἀγάπης, ὥσπερ θηράματα, Ὁσίων τάγματα, ὧνπερ τὴν δόξαν ζηλώσας, τούτοις συνηρίθμηται, Ἰθάκης βλάστημα.

Κάθισμα. Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Θεοτόκου τὴν Μάνδραν ἐπιλεξάμενος, ὥσπερ στίβον θεώσεως ὁσιώτατε, Ἰωακεὶμ πλοῖον εὐθὺς καταλέλοιπας, ὡς Ζεβεδαίου οἱ υἱοί, ἀκολουθήσας τῷ Χριστῷ, Οὗ τῷ ζυγῷ ὑπεζεύχθης, καὶ ἀρετῶν θεῖος οἶκος, ἀσκητικῶς ἀναδέδειξαι.

Δόξα. καὶ νῦν. Τῆς Θεοτόκου. Ὅμοιον ἢ τῆς ἑορτῆς.

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον, χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε, χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

θνητοὺς πρὸς τὴν αἰώνιον ζωήν, χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὠιδὴ δ'. Σύ μου ἰσχύς, Κύριε.

Νενικηκὼς ἅπαντα, κόσμου τὰ θέλγητρα, ἐνεδύθης, τρίβωνα ἀσκήσεως καὶ νουνεχῶς, ὦ Ἰωακείμ, ἔμαθες τὸν τρόπον, τῆς πρὸς ἐχθρὸν ἀντιστάσως, ὃν ὡς στρουθὸν καθεῖλες, πολεμῶν ἀσιγήτως, καὶ εἰρήνην Χριστοῦ ἔσχες σύμβιον.

Ἱκανωθεὶς ὅσιε, Θεοῦ τῇ χάριτι, ἐκ τῆς πείρας, γέγονας διδάσκαλος πῶς δεῖ κρατεῖν, νοῦν χριστοφλεγῆ, ἔρωτι τῷ θείῳ, καὶ ὑπανάπτειν τὴν φλόγα σου, εὐχῇ ἀδιαλείπτῳ, καὶ νηστείᾳ συντόνῳ, ἀθληταῖς ὡς ἐμπρέπει ἀσκήσεως.

Ὡς ὁ Υἱὸς Ἅγιε, καθώσπερ γέγραπται, ὑπετάγη, τῷ Πατρὶ θελήματι, οὕτω καὶ σὺ θεληματικῶς, τοῖς συμμονασταῖς σου, πάσῃ δυνάμει ὑπέταξας, τῆς γνώμης σου τὴν κρίσιν, προτιμῶν πραγματοῦσθαι, τὸ ἑτέροις φαινόμενον ἄριστον.

Θεοτοκίον

Ἀγγελικῶς ὤφελον, ζῆν Παναμώμητε, ἀλλ᾽ ὁ τάλας, ὅλος ἐξηχρείωμαι, ὡς φυσικὸν ἔχων δυστυχῶςπ τὸ παρὰ τὴν φύσιν, τοῦ Ἰησοῦ μακρυνόμενος, πρὸς Ὃν ἐπίστρεψόν με, ταῖς ἁγίαις εὐχαῖς σου, μετανοίας διδοῦσά μοι δάκρυα.

Ὠιδὴ ε'. Ἱνατί με ἀπώσω.

Καθ᾽ ἑκάστην Κυρίῳ, δάκρυα προσήγαγες εὐχαριστήρια, Πάτερ ἀντιδώρως, τῶν πολλῶν δεδομένων χαρίτων σοι, καὶ τῇ ταπεινώσει, ἔτι προσείλκυες τὸ Πνεῦμα, τὸ φιλοῦν κατοικεῖν ταπεινόφροσι.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἔχων Πάτερ ἐλπίδα, τὴν πρὸς τὸν Δεσπότην σου ἀδιάσειστον, οὐδαμῶς τὸν φόβον, συνεχώρησας μένειν καρδίᾳ σου, καὶ θαῤῥῶν ἐχώρεις, πρὸς τὴν ἀτέλεστον πορείαν, συνεργίᾳ Ἁγνῆς Θεομήτορος.

Ἱκανὸς ὢν πρὸς πᾶσαν, θείας Μετανοίας σου ἐξυπηρέτησιν, τὸ τοῦ οἰκονόμου, ἐπιστεύθης καλῶς διακόνημα, καὶ ἐχεμυθείᾳ, Ἰωακεὶμ ἐστολισμένος, ἀδελφοῖς χρησιμώτατος δέδειξαι.

Θεοτοκίον

Μητρικήν σου φροντίδα, δείκνυς Θεονύμφευτε τοῖς ἐν τῷ Ὄρει σου, τούτῳ ἀσκουμένοις, ὑπερτέρως δὲ ὅσοι τὴν Μάνδραν σου, τὴν Βατοπαιδίου, ἀσκητικῶς διαβιοῦσι, καὶ συνθήκας ἀμέμπτως φυλάττουσι.

Ὠιδὴ Ϛ'. Ἱλάσθητί μοι, Σωτήρ.

Βατοπαιδίου Μονή, ὁσίων μήτηρ πολύτεκνος, Ἰωακεὶμ θαυμαστέ, καὶ σὲ ὑπεδέξατο, ἄριστα δὲ θρέψασα, ἔδειξέ σε ἄνδρα, ἐκζητοῦντα τὰ τοῦ Πνεύματος.

Ἀπέστειλέ σε Χριστός, τοῖς ἀδελφοῖς παραμύθιον, Ἰωακεὶμ καὶ τυφλοῖς, φῶς ἀειλαμπέστατον, χάριτος διδάσκαλον, ἀγνοοῦσι πάτερ, σωτηρίας τὰ συντείνοντα.

Τυφθεὶς σφοδρῶς ἀθλητά, μᾶλλον τὴν Ἄγαρ ἐξέτυψας, ὁμολογήσας Χριστοῦ, ἀλήθειαν σῴζουσαν, καὶ τὸ στέφος εἴληφας, τῆς ὁμολογίας, πρὸς ἐκείνῳ τῆς ἀσκήσεως.

Θεοτοκίον

Ὁ οὐρανὸς καὶ ἡ γῆ, τὸν σὸν Υἱὸν Κόρη τρέμουσιν, ἐγὼ δὲ ὁ ἀμελής, φόβον ἐν καρδίᾳ μου, ὅλως μὴ πτοούμενος, σφάλλω καὶ οὐ τρέμω, τὴν βεβαίαν καταδίκην μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Κοντάκιον.
Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῶν μοναστῶν ὑπενδυθεὶς θεῖον Σχῆμα,
ἐν τῇ Μονῇ Βατοπαιδίου θεόφρον,
Ἰθάκης ἐγκαλλώπισμα, σεπτὲ Ἰωακείμ·
ἔνθεν σε ἀπέστειλεν, ἐν καιρῷ ὁ Δεσπότης,
λόγοις τε καὶ πράξεσιν, ἀδελφούς σου στηρίξαι,
οἷς ἀνεδείχθης μέγιστος φωστήρ,
ὡς τῶν Ὁσίων, λαμπρὸν ἀποτύπωμα.

**Ὁ Οἶκος**

Ἰθάκης βλάστημα τερπνὸν καὶ Ὄρους Ἄθω δόξα ἐφάνης ὦ
Ἰωακείμ, Μονῆς δὲ τῆς Μεγίστης Βατοπαιδίου καύχημα, ἐν ᾗ καὶ
ἐνησκήθης
μιμούμενος τῶν παλαιῶν πατέρων τοὺς ἀγῶνας·
ὡς δὲ πολύφορτός τις ναῦς, Θεοῦ οἰκονομίᾳ,
ἐστάλης τοῦ στηρίξαι γόνατα ἀνισχύοντα ἀδελφῶν
καὶ ψυχὰς συντετριμμένας ἐκ τῆς βαρβάρου δουλείας·
ὅθεν καὶ τῷ τῆς ὁμολογίας στεφάνῳ κοσμηθεὶς
ἐπέστρεψας εἰς τὴν ἐνεγκαμένην σε πατρίδα,
ἔνθα πτωχείᾳ τε ἐπάκρῳ καὶ χριστομιμήτῳ πολιτείᾳ βιώσας
φῶς καὶ διδάσκαλος τῶν συννησιωτῶν σου ἀνεδείχθης·
πλουσίως δὲ κεκοσμημένος τῇ θαυματουργίᾳ
καὶ μετὰ θάνατον τεράστια ἐνεργεῖς
τοῖς προσκυνοῦσι τῶν τιμίων σου λειψάνων τὴν θήκην,
ὡς τῶν Ὁσίων, λαμπρὸν ἀποτύπωμα.

**Τὸ Συναξάριον**

**Τῇ ια'/ κδ'τοῦ μηνὸς Μαΐου μνήμην ἐπιτελοῦμεν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἰωακεὶμ τοῦ Βατοπαιδηνοῦ, τοῦ ἐπιλεγομένου "Παπουλάκη" καὶ ἐκ τῆς περιωνύμου νήσου Ἰθάκης καταγομένου.**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Στίχοι

*Εὗρες Ἰθάκην, Ἰωακείμ, τὴν θείαν,*
*Μονῆς ἐξωρμημένος Βατοπαιδίου.*
*Βασιλείας Πατρὸς Παπουλάκης σήμερον τέτευχεν.*

Ὑπόμνημα

*Ὁ πανοσιώτατος οὗτος πατὴρ ἡμῶν Ἰωακεὶμ ὁ Παπουλάκης, πατρίδα μὲν ἐπίγειον ἔσχε τὴν περιώνυμον νῆσον Ἰθάκην, ἐν ᾗ ἐγεννήθη κατὰ τὸ 1786 σωτήριον ἔτος. Παιδιόθεν δ᾽ ἀπορφανισθεὶς τῆς μητρὸς καὶ ζῆλον ἔχων περὶ τὰ θεῖα, εὗρεν ἐν καιρῷ λιμένα τῆς ἑαυτοῦ σωτηρίας τὴν Μεγίστην καὶ Ἱερὰν Μονὴν τοῦ Βατοπαιδίου, πνευματικῶς υἱοθετηθείς, ὡς ἁγιορείτης καὶ οὗτος, παρὰ τῆς Κυρίας Θεοτόκου. Ἐνταῦθα φιλοτίμως τε καὶ ἄριστα μετασχὼν τῆς μοναστικῆς πολιτείας τῶν ἀθανάτων καρπῶν, πνευματικῶς ἠνδρώθη καὶ ὡς τοιοῦτος, θείᾳ ἐπινεύσει, ἐξῆλθεν τοῦ Ἁγιωνύμου Ὄρους κατὰ τὴν δυσχειμέριον περίοδον τῆς Ἑλληνικῆς ἐπαναστάσεως σταλεὶς εἰς Πελοπόννησον, μεγάλην ἐπιδειξάμενος τὴν κατὰ Θεὸν φιλαδελφίαν πρὸς τοὺς ἐκ τῆς δουλείας ὑποφέροντας τὰ πάνδεινα συμφυλέτας. Εἶτα δὲ καὶ εἰς Ἑπτάνησον διαπεραιωθεὶς καὶ τέλος εἰς τὴν ἐνεγκαμένην νῆσον Ἰθάκην ἐπαναστραφείς, μέγας ἐφάνη διδάσκαλος κατὰ Χριστὸν καὶ φωστὴρ ἀπλανὴς τοῖς ἐκεῖσε πτωχοῖς χριστιανοῖς, ἐν πάσῃ χρείᾳ ὑλικῇ τε καὶ πνευματικῇ ἐκ Θεοῦ στηριγμὸς καὶ συμπαραστάτης αὐτῶν δεικνύμενος. Ὅθεν καὶ θαύμασι ποικίλοις καὶ προορατικῷ χαρίσματι παρὰ Κυρίου τιμηθείς, ἀπήλαυε βαθείας τῆς τιμῆς καὶ τοῦ σεβασμοῦ, παρὰ τούτων τὴν εὔφημον ἐπωνυμίαν "Παπουλάκης" λαβών. Ὁσιακῶς οὖν βιώσας ἐκεῖ καὶ ἐν Κυρίῳ κοιμηθεὶς πάμπτωχος κατὰ τὸ 1868 ἔτος, τῇ 2ᾳ τοῦ μηνὸς Μαρτίου, μετὰ συγκινητικῶν ἐκδηλώσεων εὐλαβείας τοῦ λαοῦ ἐνεταφιάσθη ὄπισθεν τοῦ ἱεροῦ βήματος τοῦ ὑπ᾽ αὐτοῦ ἀνεγερθέντος ἱεροῦ ναοῦ τῆς ἁγίας Βαρβάρας Σταυροῦ Ἰθάκης. Παρῳχηκότων δὲ χρόνων πολλῶν, ὑπὲρ τοὺς ἑκατὸν εἴκοσιν, φιλοσίῳ μερίμνῃ τοῦ Πανοσιολογιωτάτου Καθηγουμένου τῆς ἐν Ἁγίῳ Ὄρει Ἱερᾶς Μετανοίας αὐτοῦ, τῆς Μεγίστης, δῆλον ὅτι, Μονῆς τοῦ Βατοπαιδίου ἀρχιμανδρίτου κ. Ἐφραίμ, συμφώνῳ δὲ καὶ ἐκθύμῳ τε γνώμῃ καὶ τοῦ ἐπιχωρίου*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Σεβασμιωτάτου Μητροπολίτου Λευκάδος καὶ Ἰθάκης κ.Νικηφόρου, ἐγένετο ἡ ἀνακομιδὴ τῶν τιμίων λειψάνων τοῦ ὁσίου Πατρός, κατὰ τὴν 11/24 Μαΐου τοῦ ἔτους 1992 , ὡς τοῦτο προεῖπεν ὁ ὅσιος Ἰωακεὶμ ἐν ζωῇ ἔτι ὤν, ὅτι δηλαδή, μέλλει ἀνακομῖσαι τὰ ἑαυτοῦ τίμια λείψανα Καθηγούμενος ξανθὸς τὴν κόμην καὶ τὸ γένειον. Μέρος οὖν τῶν ἀναφανέντων τιμίων λειψάνων ὡς καὶ τὴν ἡμίσειαν κάραν τοῦ Ὁσίου, κατόπιν θαυματουργικῆς ἐμφανίσεως τούτου εὐλαβεῖ ἱερεῖ, μετενηνόχασιν οἱ Βατοπαιδηνοὶ Πατέρες πρὸς διηνεκῆ ἁγιασμὸν εἰς τὴν Ἱερὰν αὐτῶν Μετάνοιαν. Ἡ δὲ Μήτηρ Ἁγία τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία συνοδικῶς ἀνεγνώρισεν τὴν ἁγιότητα τοῦ Ὁσίου Πατρὸς κατὰ τὸ 1998 σωτήριον ἔτος, καθορίσασα, ὅπως τιμᾶται ἡ μνήμη αὐτοῦ τὴν ἡμέραν τῆς ἀνακομιδῆς τῶν τιμίων λειψάνων, ὡς τῆς τοιαύτης τῆς κοιμήσεως συμπιπτούσης πάντοτε ἐν τῇ νηστησίμῳ περιόδῳ τῆς Μεγάλης Τεσσαρακοστῆς.*

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας.

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'. Παῖδες ἑβραίων.

Πλήθη διέσωσας τῇ κώπῃ, ὁσιώτατε, χρησάμενος ὡς ὅπλῳ, τῶν ἀθέων ὁρμήν, γενναίως ἀποκρούσας, καὶ εὐγνωμόνως ἔψαλες· ὁ Θεὸς εὐλογητός εἶ.

Ἄνωθεν εἴληφας τὴν κλῆσιν, καὶ ἐπέστρεψας, εἰς νῆσον τῆς Ἰθάκης, ἐν ἀσκήσει σκληρᾷ, διαπερῶν τὸν βίον, καὶ τῇ εὐχῇ τρεφόμενος, ἐν ἐγκάρπῳ ἡσυχίᾳ.

Ἴθυνας τοὺς Ἰθακησίους, πρὸς τὸ θέλημα, Δεσπότου τοῖς σοῖς λόγοις, καταστήσας αὐτούς, εὐλαβουμένους σφόδρα, Ἰωακεὶμ τρισόλβιε, παραδόσεως τοὺς ὅρους.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δῆσον τὸν νοῦν μου ἀτακτοῦντα, Θεονύμφευτε, τῇ μνήμῃ τοῦ Υἱοῦ σου, βλαπτικοὺς λογισμούς, διώκουσα εὐχαῖς σου, καὶ καθιστῶσα ἔνδον μου, Βασιλείας θείας πόθον.

Ὠιδὴ η'. Ἑπταπλασίως κάμινον.

Ἰωακεὶμ θεσπέσιε, ἐν τῷ δάσει ἀσκούμενος, κατὰ τοῦ ἀρχαίου, πτερνιστοῦ ἠγώνισαι, καὶ φύσιν ὑπέταξας, νόμοις Ἁγίου Πνεύματος, ἐν σκληρᾷ νηστείᾳ, ἀγρυπνίαις παννύχοις, εὐχόμενος καὶ κράζων· ἐλθέτω θεία Χάρις, ἐπ᾽ ἐμοὶ καὶ οἰκείτω, καὶ πάντα μου τὸν βίον, εὐθύναι πρὸς Δεσπότην.

Οὐρανοδρόμος πέφυκας, ἀθλητὴς ὁσιότητος, πύκτης παθοκτόνος, καὶ σαρκὸς ὑπέρτερος, δακρύων ταῖς χύσεσι, τὸν ὄφιν πνίξας ἅγιε, ὅθεν ὥσπερ λύχνος, τῇ λυχνίᾳ ἐτέθης, φωτίζων τῷ σῷ βίῳ, καὶ ἐκτρέφων τοῖς λόγοις, Ἰωακεὶμ τοὺς ὅσοι, συνέτρεχόν σοι πόθῳ.

Ὑπὸ τοῦ θείου Πνεύματος, καθαρθεὶς παμμακάριστε, οἶκος χριστοφόρος, ἔφυς τε καὶ πάγκαλος, διὸ οἴκους ἤγειρας, ἐπιμελείᾳ ὅσιε, εἰς τιμὴν Δεσπότου, καὶ τῶν τούτου Ἁγίων, οἷς νῦν συνὼν κραυγάζεις· τὸν Κύριον ὑμνεῖτε, οἱ σεσημειωμένοι, σταυρῷ τῷ ζωηφόρῳ, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Ἁμαρτιῶν τὸ ἄχθος μου, Θεομῆτορ ἀπόσεισον, καὶ τὰς τοῦ νοός μου ἐκτροπὰς κατάστειλον, διδοῦσα τὴν χάριν σου, τῇ ἀσθενεῖ καρδίᾳ μου, καὶ τὸν γλυκασμόν, τῆς σῆς μνήμης Παρθένε, ὅπως ἐν εὐφροσύνῃ, ἀνυμνῶ τὸν Υἱόν σου, τὸν μεγαλύναντά σε, ὑπὲρ χοροὺς ἀγγέλων.

Ὠιδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νοσοῦντας ἐξιάσω ταῖς σαῖς εὐχαῖς, ὀρφανοὺς καὶ τὰς χήρας διέθρεψας, Ἰωακείμ, καὶ τὸν ἐπιθέντα σοι αὐθαδῶς, πραέως ἐσωφρόνισας, θραύσει τοῦ καθίσματος θαυμαστῶς, προφητικῶς δὲ πάλιν, τὸ μέλλον ἐφανέρους, ὡς πεπλησμένος θείας Χάριτος.

Θανὼν τῷ κόσμῳ πάτερ Ἰωακείμ, ἐδουλώθης ἀγάπη νυττόμενος, τῷ ἰατρῷ, ἀντὶ τοῦ ὀφείλοντος μιμηθείς, τὸν Κύριον Οὗ γέγονας, γνήσιον ἐκσφράγισμα καὶ εἰκών, διὸ καὶ ἐτιμήθης, πολλαῖς θαυματουργίαις, καὶ ἔτι ζῶν καὶ μετὰ θάνατον.

Ὁσίως ἐκοιμήθης Ἰωακείμ, τοὺς στεφάνους λαβὼν τῆς ἀσκήσεως, παρὰ Χριστοῦ, καὶ χοροῖς Ἁγίων ἀριθμηθείς, μεθ᾽ ὧν ἀεὶ ἱκέτευε, ὑπὲρ τῆς Μονῆς σου χρεωστικῶς, καὶ τῆς ἐνεγκαμένης, Ἰθάκης φιλαδέλφως, ἀποδιδοὺς διπλᾶ τροφεῖά σου.

Σεμνύνεται ἡ Μάνδρα σου ἡ σεπτή, προσκυνοῦσα τὴν θήκην λειψάνων σου, Ἰωακείμ, ἅπερ ὡς θησαύρισμα ἐκ τῆς γῆς, καθώσπερ προεφήτευσας, ταύτης Καθηγούμενος σεβαστός, ἐξήγαγεν ἐμπόθως, καὶ ἤνεγκεν ἐν ταύτῃ, ὡς θησαυρὸν ἁγιομύριστον.

### Θεοτοκίον

Ἀνοίξασα τὴν πύλην τῶν οὐρανῶν, ἐν αὐτοῖς με εἰσάγαγε Δέσποινα, σαῖς προσευχαῖς, ὅπως ἴδω πρόσωπον τοῦ Χριστοῦ, τὸ πανερασμιώτατον, καὶ ζωῆς μετάσχω τῆς ποθητῆς, μετὰ χοροῦ Ἁγίων, οὗ πρώτη πέλεις Μήτηρ, ὡς τὸν Πανάγιον γεννήσασα.

### Ἐξαποστειλάριον
Ἦχος β'. Τοῖς μαθηταῖς.

Ἰωακεὶμ τιμήσωμεν, τῆς Ἰθάκης τὸν γόνον, Μονῆς Βατοπαιδίου δέ, ὁσιότητος θρέμμα, τὸν πληρωτὴν τῆς ἀγάπης, πρὸς Θεὸν καὶ τὸν πέλας, σημείοις τε καὶ θαύμασι, κοσμηθέντα δικαίως, παρὰ Χριστοῦ, καὶ διδόντα χάριν τοῖς προσκυνοῦσιν, αὐτοῦ τὰ θεῖα λείψανα, εὐλαβῶς μετὰ πόθου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Θεοτοκίον, ὅμοιον ἢ τῆς προλαβούσης ἑορτῆς.

Μεγάλα καὶ παράδοξα, δι᾽ ἐμὲ κατειργάσω, Χριστέ μου πολυέλεε, ἐκ Παρθένου γὰρ Κόρης, ἐτέχθης ἀνερμηνεύτως, καὶ Σταυρὸν κατεδέξω, καὶ θάνατον ὑπομείνας, ἐξανέστης ἐν δόξῃ, καὶ τὴν ἡμῶν, φύσιν ἠλευθέρωσας τοῦ θανάτου. Δόξα Χριστὲ τῇ δόξῃ σου, δόξα τῇ σῇ δυνάμει.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ'. Ὁ ἐξ ὑψίστου κληθείς.

Χαρὰν μεγίστην Μονὴ Βατοπαιδίου, σεπτή σου Μετάνοια, Ἰωακεὶμ θαυμαστέ, σήμερον ἔχει τελοῦσά σου, τὴν θείαν μνήμην, καὶ προσκυνοῦσα θήκην λειψάνων σου. Ἰθάκη δὲ γάννυται, ὡς σὲ τεκοῦσα καλῶς, καὶ τὸν σὸν τάφον κατέχουσα, ἐξ οὗ λαμβάνει, νόσων τὴν λύσιν καὶ χάριν ἄφθονον· ἄμφω συμφώνως δὲ δοξάζουσι, τὸν σὲ Πάτερ ἀξίως δοξάσαντα, καὶ ἱδρῶτας σῶν πόνων, ὡς θυμίαμα δεξάμενον.

Ὡς Ζεβεδαίου οἱ γόνοι τὸν πατέρα, καὶ πλοῖον κατέλιπες, Ἰωακεὶμ εὐπετῶς, ἀκολουθήσας Κυρίῳ σου, ἐνζήλως πάτερ, δρόμον ἀσκήσεως προελόμενος· εὑρὼν δὲ συλλήπτορα τὴν Θεοτόκον ἀεί, ταῖς ἀρεταῖς κατεστόλισας, ψυχὴν πλουσίως, καὶ ἐγεγόνεις σοφὸς ἐκ πράξεως· ὅθεν ἐφάνης εἰς τὸ ὕστερον, φῶς τοῖς οὖσιν ἐν σκότει πανόσιε, τῆς δουλείας καὶ στύλος, κλονουμένων ὡς φιλάδελφος.

Κληρονομήσας πατρὸς τῆς Παναχράντου, τὸ ὄνομα ὅσιε, ταύτην σου πρόμαχον, ἔν τε τῷ Ἄθωνι ἔσχηκας, καὶ ἐν Ἰθάκῃ, ἔνθα ἐξέλαμψας ὥσπερ ἥλιος, εὐχῇ καὶ νηστείᾳ τε καθοδηγῶν συνετῶς, τοὺς σοὶ πελάζοντας πάντοτε, καὶ προφητείᾳ, προλέγων μέλλον ὡς

θεοφώτιστος· ὅθεν μὴ παύσῃ ὡς φιλόπατρις, ἱκετεύειν Χριστὸν ὑπὲρ νήσου σου, καὶ Μονῆς σου Μεγίστης, παλαιῶν πατέρων σύστεπτε.

Τοῦ μυθικοῦ Ὀδυσσέως ὑπερέβης, τὰ ἆθλα τοῖς πράγμασιν, Ἰωακεὶμ ἐν Χριστῷ, Ὅστις ζωή σοι ἐγένετο, καὶ μόνος πόθος, Ὃν καὶ ἐφεῦρες μετὰ τὴν κοίμησιν, Οὗ καὶ θεῖον Πρόσωπον νῦν καθορᾷς ἐμφανῶς, ἐξ Οὗ τὴν χάριν ἀπείληφας, θαυματουργίας, τελεῖν τοῖς πόθῳ ἀσπαζομένοις σου, λειψάνων θήκην, Ὃν ἱκέτευε, συμμετόχους γενέσθαι τῆς δόξης σου, τοὺς τιμῶντας σὴν μνήμην, ἐγκωμίοις τε καὶ ᾄσμασι.

Δόξα. Ἦχος πλ.δ'.

Τῆς Βασιλίδος καὶ Κυρίας Θεοτόκου, τὴν προστασίαν ἀπὸ βρέφους ἔχων πάτερ Ἰωακείμ, ἐν τῷ περιβόλῳ ταύτης ἐφυτεύθης παρὰ τοῦ οὐρανίου Κηπουροῦ, ἐν ᾧ ὡς μέλιττα ἀπανθίσας τῶν παλαιῶν Πατέρων τὰς ἀρετάς, ἔμπειρος ἀνεδείχθης ἀσκητής· πῦρ γὰρ τῷ πυρὶ τῆς θείας ἀγάπης προστιθέμενος, ὅλως ἀνεφλέγης ἐκ τῆς ἐνοικησάσης σοι χάριτος, καὶ ὡς προφήτης παρακλήσεως, τὸν βίον σου ἐν τῇ Ἰθάκῃ ἐπέρανας. Ἐν οὐρανοῖς δὲ σὺν Ἁγίοις ἱστάμενος, πρέσβευε δεόμεθα, ὑπὲρ Πατρίδος καὶ Μονῆς σου, τῶν ἑορταζουσῶν τὴν πάνσεπτον μνήμην σου.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη κτλ. ὡς σύνηθες.

Μεγαλυνάριον

Χαίροις τῆς Ἰθάκης τερπνὸς βλαστός, καὶ Βατοπαιδίου, θεῖον τέκνον Ἰωακείμ, ὅτι ἠξιώθης, τὸν δρόμον σου τελέσαι, ὡς ἀσκητὴς χριστόφρων, καὶ πλήρης Χάριτος.

Στίχοι



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Μνήσθητι, Πάτερ, συγκοινοβιατῶν σου*
*κἀμοῦ ἀθλίου ἐν ἡμέρᾳ τῆς Δίκης.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ